οὐ μοιχεύσεις· οὐ φονεύσεις· καὶ ὅσα τοιαῦτα·
καὶ ἐπὶ τούτοις, λογισμοὺς καθαιροῦντες
καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς
γνώσεως τοῦ θεοῦ· ὁ δὲ καθαιρῶν λογισμοὺς καί,
πάντα τὰ προειρημένα ἐκκόψας καὶ ἀπέκλεισε·
διόπερ οἱ φιλόθεοι καὶ βεβαιόπιστοι,
ἐπὶ τὸ ποιεῖν τὰς ἐντολὰς βιάζονται·
καὶ τὰς μερικὰς δὲ κατὰ σύμβασιν ἁ-
μαρτήσεις ὑπαρεμπίπτουσι· ὅθεν
λογίζομαι τὸ τῆς μετανοίας ἔργον, ἐν ταῖς
τρισὶ ταύταις ἀρεταῖς ἐξυφαίνεσθαι.
ἐν τῷ λογισμοὺς καθαίρειν, καὶ ἀδιαλεί-
πτως προσεύχεσθαι, καὶ τὰς ἐπερχο-
μένας θλίψεις ὑποφέρειν· ἅπερ οὐ μόνον
φανεραί, ἀλλὰ καὶ νοερὰν ἐργασίαν ἔ-
χουσιν ὠφέλει· ὥστε τοὺς ἐγχρονίσαντας,
ἀπαθεῖς καταστῆσαι· ἐπεὶ δὴ οὖν χωρὶς
τῶν προειρημένων τριῶν ἀρετῶν, οὐ
δύναται τελειωθῆναι τὸ τῆς μετανοίας
ἔργον, καθὼς ὁ λόγος ἀπέδειξεν,